www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Θεόδωρον τὸν Τύρων

Ἦχος β'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα Θεόδωρον τὸν Τύρωνα, οὗ ἡ ἀκροστιχίς, «Τῷ ἀθλοφόρῳ Τύρωνι Θεοδώρῳ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.» Ἦχος β΄

*Ὠιδὴ Α΄ Δεῦτε λαοί.*

Τοῦ εὐκλεοῦς μεγαλομάρτυρος μέλψαι ᾠδήν, προθυμουμένῳ δώρησαι, Χριστὲ τὴν χάριν σου, τὴν φωσφόρον ἐξ ὕψους, Σωτήρ μου ὅπως ταύτην, ἀξίως ᾄσωμαι.

Ὡς τηλαυγής, καὶ φαεσφόρως ἐκλάμψας ἀστήρ, ἐκ τῆς Ἑώας ἔνδοξε μάρτυς Θεόδωρε, τὴν σκοτόμαιναν λύων, τῆς πλάνης τῶν εἰδώλων, τοῖς σοῖς παλαίσμασι.

Ἀθλητικῶς, ἐκπεραιῶσαι τὸν δρόμον τὸν σόν, τρισμάκαρ ἐφιέμενος, πίστει νευρούμενος, τῷ τῶν πάντων Δεσπότῃ, ἀνέθου τὴν ἐλπίδα, σοφὲ Θεόδωρε.

*Θεοτοκίον.*

Ἱκετικῶς, προσπίπτω Δέσποινα ὁ ἐναγής, πρὸς σὲ καὶ ῥυπαρώτατος, τὴν ἁγνὴν καὶ

πανάσπιλον, ἐξαιτούμενος λύσιν, τυχεῖν τῶν ἀμετρήτων μου παραπτώσεων.

*Ὠιδὴ Γ΄ Στερέωσον ἡμᾶς.*

Θεοῦ τῶν δωρεῶν ὡς ἐπώνυμος, θηρὸς τὴν ἐξόντωσιν ἀθλοφόρε, ἀνελάβου ὥσπερ θώρακα, τοῦ σταυρωθέντος κατέχων τὴν δύναμιν.

Λατρείας ἐναγοῦς ἐστηλίτευσας, τὴν πλάνην πανένδοξε τῶν εἰδώλων, τῶν ὀργάνων προκειμένων σοι, τῶν κολασμῶν ἀθλοφόρε Θεόδωρε.

Ὀδύνας τῶν ξεσμῶν καρτερώτατα, ὑπέφερες μάρτυς καὶ τῷ Δεσπότῃ, τῶν ἁπάντων ἀνεκραύγαζες, σύ μου Σωτὴρ Χριστὲ τὸ στερέωμα.

*Θεοτοκίον.*

Λαγνείας ὢν Παρθένε οἰκητήριον, σοὶ μόνῃ ὁ δοῦλός σου καταφεύγω, ἐξαιτούμενος ἐν ταύτῃ με, τῇ δεινῇ πωρώσει σῆς ἐπιβλέψεως.

*Ὠιδὴ Δ΄ Ἐλήλυθας ἐκ Παρθένου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Φοινίσσον τοῖς τῶν αἱμάτων τὸ σῶμά σου ῥεύμασι, ἔνδοξε Θεόδωρε καταξεόμενος ὄνυξι, χαίρων τῷ Σωτῆρί σου μάκαρ ἐκραύγαζες, δόξα τῇ δυνάμει σου Κύριε.

Ὁλόκληρον σεαυτὸν ταῖς βασάνοις παρέδωκας, τοῦ Χριστοῦ τῷ ἔρωτι ἔνδον σφοδρῶς πυρπολούμενος, διὸ καὶ ἐνήθλησας καρτερικώτατα, καὶ τῆς νίκης στέφος ἀπείληφας.

Ῥωνύμενος τῇ δυνάμει θεόφρον τοῦ Πνεύματος, τῶν δριμέων ἤνεγκας κολαστηρίων Θεόδωρε, τὰς ἐφόδους ὅθεν σε ὁ Χριστὸς ἐδόξασεν ὁ ἐν ἁγίοις δοξαζόμενος.

*Θεοτοκίον.*

Ἀπέγνωσμαι Θεοτόκε Παρθένε ὁ δείλαιος, τῶν ἁμαρτημάτων μου διαφυγεῖν μὴ δυνάμενος, τὰ δεσμὰ ἀλλ᾽ οἴκτειρον καὶ τούτων λῦσόν με, ὡς τοῦ Θεοῦ Μήτηρ ὑπάρχουσα.

*Ὠιδὴ Ε᾽ Μεσίτης Θεοῦ.*

Ὡς θύμα δεκτόν, προσηνέχθης ἅγιε Χριστῷ τῷ Θεῷ, μάρτυς ἐθελούσιον, καὶ

εὐῶδες ἔνδοξε Θεόδωρε, καὶ ὡς ζῶσα θυσία, πυρὶ ὁλοκαυτούμενος.

Τὸν δρόμον καλῶς, τελειώσας ἔφθασας στεφανηφορῶν, ἔνθα ἦχος ἤκουσται, τῶν ἑορταζόντων ἀξιάγαστε, τῷ τῶν πάντων Δεσπότῃ, ἡμῖν ἐξιλεούμενος.

Ὑψοῦ τοῦ Θεοῦ, τῷ ἀστέκτῳ θρόνῳ τοῖς ἀγγέλοις συνών, ἀθλητὰ Θεόδωρε, τοῖς ὑμνολογοῦσί σε ἱκέτευε, τῷ Χριστῷ δωρηθῆναι, τὸ μέγα αὐτοῦ ἔλεος.

*Θεοτοκίον.*

Ῥοῦν στῆσον Ἁγνή, ὡς Μήτηρ ὑπάρχουσα Χριστοῦ τοῦ Θεοῦ, τῶν ἀνομημάτων μου, καὶ τῇ μετανοίᾳ με ὁδήγησον, πρὶν τοῦ τέλους ἡ ὥρα, ἐξαίφνης καταλάβῃ με.

*Ὠιδὴ ΣΤ΄ Ἐν ἀβύσσῳ πταισμάτων.*

Ῥωμαλέῳ φρονήματι ἤνεγκας, τῶν ξεσμῶν Θεόδωρε ὀδυνηρότητα, καὶ τῶν εἱρκτῶν τὴν κάκωσιν, τοῦ Χριστοῦ τῇ δυνάμει σθενούμενος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὡς μαρτύρων ἀλείπτην σοφώτατον, καὶ στεῤῥὸν πανένδοξε καὶ ἀπαράμιλλον, ἐν ἀθλοφόροις ᾄσμασι, τὴν φαιδράν σου κροτοῦμεν πανήγυριν.

Νικηφόρος ἐδείχθης Θεόδωρε, κατ' ἐχθρῶν ἀράμενος, γενναίως τρόπαια, τῇ ἀνενδότῳ στάσει σου, καθελῶν τῶν εἰδώλων σεβάσματα.

*Θεοτοκίον.*

Ἰαμάτων πηγὴ ὡς ὑπάρχουσα, σοὶ ἱκέτης Πάναγνε θερμῶς προσέρχομαι, τὸν τραυματίαν ὅλον με, τῷ ἀμέτρῳ ἐλέει σου ἴασαι.

*Ὠιδὴ Ζ' Εἰκόνος χρυσῆς.*

Ἰχῶρσι τῶν σῶν, φοινισσόμενος αἱμάτων ἀθλοφόρε, τῶν τυραννούντων σου ἐξήλεγξας, τὴν ἀθεότητα Θεόδωρε, μέσον δὲ ἱστάμενος μάκαρ, τοῦ πυρὸς ἀνεκραύγαζες, εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θυμὸν ἀπηνοῦς, τοῦ δολίου παραβάτου καὶ ἐχθίστου, τοῦ τῶν ἑλλήνων προεξάρχοντος, παμμακάριστε διέλυσας, τῇ σῇ ἐμφανείᾳ προφρόνως, τῶν χρανθέντων

ἀπέχεσθαι, τούτου βρωμάτων ἀθλητά, τοῦ Χριστωνύμου λαοῦ.

Ἐκλάμψας τῇ γῇ, φῶς οὐράνιον Θεόδωρε καθώσπερ, ταῖς τῶν θαυμάτων ἐπιλάμψεσι, οἷς Θεὸς σέ ἐδόξασε, νόσων ἀπαλλάττων παντοίων, καὶ κινδύνων καὶ θλίψεων, τοῖς σοὶ προστρέχουσι πιστῶς, καὶ ἐξαιτοῦσι θερμῶς.

*Θεοτοκίον.*

Ὠθεῖ με ἀεί, ἐνδιάθετος ὁρμὴ πρὸς ἁμαρτίαν, πρὸς τὸν κρημνὸν τῆς ἀπογνώσεως, τὸν ταλαίπωρον καθέλκουσα, σύ με παντοδύναμε Κόρη, τὸν Θεὸν ἡ γεννήσασα, ὁδήγησόν με ἀγαθῇ, σωτηριώδει ὁδῷ.

*Ὠιδὴ Η΄ Κάμινός ποτε.*

Ὁλοκαυτωθείς, πυρὶ πρὸς τοῦ Δεσπότου, στεφάνων δόξης κατηξίωσαι, τρισμάκαρ Θεόδωρε, ἀσεβούντων ἡ κατάπτωσις, τῶν δὲ πιστῶν παράκλησις ψάλλουσι, εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Δῶρόν τῷ Θεῷ, προσήχθης ἀθλοφόρε, σῶμα τὸ σόν, τοῖς ἀγωνίσμασι, σοφὲ ἀγαλλόμενος, παραδοὺς Τύρων Θεόδωρε,

ᾄδων Χριστῷ τῶν παίδων τὴν αἴνεσιν,
εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὡς τοῦ λυτρωτοῦ, θεράπων χριστομάρτυς, στεφανοφόρος γνησιώτατος, αὐτὸν καθικέτευε, ἡμῖν λύτρωσιν δωρήσασθαι, τῶν πειρασμῶν καὶ πάσης κακώσεως, καὶ πολλῶν πταισμάτων, ἡμῶν τὴν συγχώρησιν.

*Θεοτοκίον.*

Νοῦς ἀδυνατεῖ τὰ πλήθη τῶν κακῶν μου, ἐκδιηγήσασθαι ὧν ἔπραξα, καὶ τούτοις ὁ ἄθλιος, ἐπιμένω μὴ βαλόμενος, ποτὲ εἰς νοῦν τὸ πῦρ τῆς κολάσεως, σύ με Παναγία παράσχου διόρθωσιν.

*Ὠιδὴ Θ΄ Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.*

Ῥητορικὴ πᾶσα γλῶσσα, ἐπαξίως κινείσθω, πρὸς ἔπαινον ἐν ὕμνοις καὶ ᾠδαῖς, τοῦ εὐκλεοῦς ἀριστέως Χριστοῦ, τοῦ κλεινοῦ Θεοδώρου, τὴν μνήμην ἑωρτάσωμεν πιστοί, ὅπως τοῦτον ἑτοίμην, βοήθειαν κτησώμεθα.

Ὡραϊσμένος ἀνέπτης, πρὸς τὰ ἄνω τρισμάκαρ, τοῖς στίγμασι παντοίων αἰκισμῶν, καὶ νῦν Χριστῷ σὺν ἀγγέλων χοροῖς, παριστάμενος μάρτυς, τῶν ἀνυμνολογούντων



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

σε πιστῶς, ἀεὶ τοῦτον δυσώπει, κινδύνων διασώζεσθαι.

Ὡς τοῦ Χριστοῦ καὶ Σωτῆρος, εὐκλεέστατος μάρτυς, πρέσβευε τούτῳ μάκαρ ἐκτενῶς, δούλῳ τῷ σῷ, τῷ σὲ πίστει ᾠδήν, συνθεμένῳ δοθῆναι, νοσώδους καὶ δεινῆς ἐπιφορᾶς, τῆς τοῦ σώματος ἅμα, καὶ τῆς ψυχῆς τὴν ἴασιν.

*Θεοτοκίον.*

Μετ᾽ εὐφροσύνης ἐνθέου, ἀνυμνοῦμεν καὶ πόθου, πίστεως διαθέρμου ἀγαθή, ὡς ἀληθῆ σε Μητέρα Θεοῦ, καὶ προστάτιν Παρθένε, καὶ Ἔφορον οἱ τῷδε τῷ σεπτῷ, Ὄρει Ἄθῳ οἰκοῦντες, καὶ ὕμνοις μεγαλύνομεν.

*Προσόμοια.*

*Ὅτε ἐκ τοῦ ξύλου σε. Ἦχος β΄.*

Δεῦτε τοῦ γενναίου ἀθλητοῦ, τὴν λαμπρὰν καὶ εὔσημον μνήμην, πανηγυρίσωμεν, ᾄσματα προσάδοντες, οἱ χριστεπώνυμοι, Θεοδώρου τοῦ μάρτυρος, καὶ γὰρ οὗτος ὄντως, ἄνωθεν σθενούμενος, στερρῶς κατέβαλε, πᾶσαν τῶν ἐχθρῶν μεθοδείαν, καὶ βασάνων πᾶσαν ἰδέαν, διελθὼν ἀνέπτη πρὸς οὐράνια.

www.tezaurliturgic.ro


Ξέσιν τῶν μελῶν καὶ σπαραγμόν, καὶ πυρὸς τὴν καύσιν θεόφρον, διὰ τὸν Κύριον, ἀνενδότως ἤνεγκας Τύρον Θεόδωρε, καὶ λιπὼν τὰ περίγεια, τοῖς ἄνω συνήφθης, στέφει ἐγκοσμούμενος τῶν μαρτυρίου σου, ὅθεν ὡς Χριστοῦ τροπαιοῦχος, ἐκδυσώπει τοῦτον δοθῆναι, ἡμῖν τῶν πταισμάτων τὴν συγχώρησιν.

Θαύμασί σε πλείστοις ὁ Χριστός, ἐν τῇ γῇ ἐδόξασε μάρτυς, θεῖε Θεόδωρε, ὥσπερ γνησιώτατον, αὐτοῦ θεράποντα, τῶν καμνόντων ἰώμενον, σωμάτων τὰς νόσους, καὶ ψυχῶν ἀπείργοντα, πάθη τὰ χρόνια, ῥύστην αἰχμαλώτων καὶ πάντων, τῶν εὐσεβοφρόνων προστάτην, καὶ φρουρὸν καὶ ἄγρυπνον ἀμύντορα.

Σύ μοι Παναγία προσφυγή, σὺ ἐν τοῖς κινδύνοις προστάτης, σὺ ἐν ταῖς θλίψεσι, σὺ ἐν περιστάσεσι, καὶ ταῖς κακώσεσι, καὶ ἑτοίμη ἀντίληψις, ἐν νόσοις Παρθένε, σὺ ἐλπίς μου μόνιμος, τῆς σωτηρίας μου, ταύτης με ὁδὸν τῷ ἀπείρῳ, τοῦ Θεοῦ μου Μήτηρ ἐλέει, πρὸ τῆς τελευτῆς μου καθυπόδειξον.